www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
# ΑΓΙΟΥ ΑΓΑΠΗΤΟΥ
# ΕΠΙΣΚΟΠΟΥ ΣΙΝΑΟΥ
# ΟΥ Η ΜΝΗΜΗ 18
# ΦΕΒΡΟΥΑΡΙΟΥ

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Στιχολογεῖται ἡ α΄στασις τοῦ «Μακάριος ἀνήρ». Εἰς δέ τό «Κύριε ἐκέκραξα» ψάλλομεν στιχηρά προσόμοια τοῦ Ἁγίου.

Ἦχος δ΄.

Ἔδωκας σημείωσιν.

Κλῆσιν τήν φερώνυμον πεπλουτηκώς ὅν ἠγάπησας, ἠκολούθησας πάνσοφε, ἀγάπη τῇ κρείττονι συνδεσμῶν δυνάμεις, πάσας τῆς ψυχῆς σου, καί ὁδηγῶν Ἀγαπητέ, ὅλον τόν νοῦν σου πρός τά οὐράνια, διό τῆς ἀγαπήσεως κατατρυφῶν τοῦ Κυρίου σου, ἐν ἀγάπη συντήρησον τούς τελοῦντας τήν μνήμην σου.

Ἄνθρωπος οὐράνιος ἐπί τῆς γῆς ἀναδέδειξαι, τῇ συντόνῳ ἀσκήσει γάρ, βίον τόν ἰσάγγελον, ἐν σαρκί ἐτέλεις, νηστείαις πολλάκις καί ἀγρυπνίαις προσευχαῖς, τό ὀπτικόν τῆς ψυχῆς ἐκάθηρας, καί νῦν τήν ἐπουράνιον μακαριότητα ἔνδοξε, ἐκληρώσω τοῖς πόνοις σου Ἀγαπητέ καί δεήσεσιν.

Πίστιν τήν ὀρθόδοξον, πρός τόν Θεόν ἔχων ἔλαβες, τήν ἐλπίδα βεβαίαν τε, τῆς ἀνταποδώσεως, ὅθεν τῆς ἀγάπης, στύλος ἀνεφάνης τῆς πρός Θεόν Ἀγαπητέ, καί τόν πλησίον ὅλος διάπυρος, ὅθεν ἀγάπη στήριξον ταῖς ἱκεσίαις σου πάντοτε τάς ψυχάς τῶν τιμώντων σου νῦν τήν μνήμην πανεύφημε.

Ἕτερα προσόμοια. Ἦχος β΄.

Ὅτε ἐκ τοῦ ξύλου.

Ἔχων ἐκ παιδός τόν λογισμόν, πρός Θεόν παμμάκαρ ἡσύχως τόν βίον ἤνυσας, μέλι τό γλυκύτατον τῶν ἀρετῶν ἐν ψυχῇ, συλλεξάμενος ὅσιε, ἐγλύκανας ὄντως, τάς ψυχάς τῶν πρέσβυν σε πλουτούντων πάντοτε, δίδου καί ἡμῖν τήν σήν χάριν, ὦ Ἀγαπητέ καί παντοίων λύτρωσαι κινδύνων τούς ὑμνοῦντας σε.

Ὅλον τῆς ἀγάπης τόν βυθόν, ἐρευνήσας πάτερ ἐκεῖθεν νάματα ἤντλησας, οἷς καί κατεδρόσισας τάς διανοίας τῶν σοί, προστρεχόντων ἀοίδιμε, ἰώμενος νόσους, δαίμονας ἐλαύνων τε ὁρῶν τά μέλλοντα, πάθη τῶν ψυχῶν ἰατρεύων, ὦ Αγαπητέ ἀγαπήσας τῆς ἀγάπης ὄντως τό ἀκρότατον.

Ποίμνης λογικῆς οἷα ποιμήν, ἐπί χλόην θείων λογίων ταύτην ὁδήγησας, καί ἐκθρέψας ὅσιε ταῖς σαῖς ὀρθαῖς διδαχαῖς, σεσωσμένην προσήγαγες Κυρίῳ τῶν πόνων μισθόν κληρωσάμενος ζωήν αἰώνιον ἧς ἀξιωθῆναι δυσώπει καί ἡμᾶς πρεσβείαις σου μάκαρ, ὦ Ἀγαπητέ ἀξιοθαύμαστε.

Δόξα. Ἦχος πλ. β΄.

Ἐπουρανίου κλήσεως ἠξίωσαι, συναδούσης τῷ βίῳ σου. Ὅλος γάρ τῇ ἀγάπῃ ἐπτερωμένος, ἀρετῆς ἁπάσης θησαυρός ἐχρημάτισας. Ἡσυχίαν προκρίνας τῆς ἐφαμάρτου ζωῆς, ἀσκητικαῖς ἀγωγαῖς τήν ψυχήν καθάρας, γέγονας τοῦ Πνεύματος κειμήλιον. Ἐν μέσῳ δέ ἐπιγείου στρατείας δουλεύων, τῆς οὐρανίου στρατιᾶς τῶν ἀγγέλων, ἐφάμιλλος ἀνεδείχθης. Καί Χριστόν ὁμολογήσας ἐνώπιον τυράννων, ἐν τῇ σαρκί τά στίγματα τοῦ μαρτυρίου περιέφερες. Οἷς κοσμούμενος, ἐκ δεξιῶν Αὐτοῦ παρέστης, τοῦ ὄντως ἀγάπη χρηματίζοντος. Διό τῆς ἄνω μακαριότητος κατατρυφῶν Ἀγαπητέ ἀξιύμνητε, ἐν ἀγάπη συντήρησον τάς ψυχάς ἡμῶν.

Καί νῦν. Τίς μή μακαρίσει σε.

www.tezaurliturgic.ro

Εἰς τὴν Λιτὴν στιχηρὰ ἰδιόμελα:

Ἦχος α'

Εὐλογημένος ἄνθρωπος, ὅς πέποιθεν ἐπί τῷ Κυρίῳ, καί ἔστι Κύριος ἐλπίς αὐτοῦ καί ἔσται ὡς ξύλον εὐθηνοῦν παρ'ὕδατα, τά τοῦ Εὐαγγελίου διδάγματα, καί ἐπί ἰκμάδα βαλεῖ ρίζαν αὐτοῦ τήν πίστιν τήν ὀρθόδοξον, καί οὐ φοβηθήσεται ὅταν ἔλθη καῦμα καί ἔσται ἐπί στελέχη ἀλσώδη καί οὐ διαλείψει ποιοῦν καρπούς ἀρετῶν. Τοιοῦτος ἀνεδείχθης Ἅγιε, τῇ ἐμπόνῳ ζωῇ σου,'Αγαπητέ πατήρ ἡμῶν. Πρέσβευε πρός Κύριον, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

Ἦχος β'

Ζηλωτής τῶν μαρτύρων, ἐνθέῳ προαιρέσει γενόμενος, σεαυτόν πρός βασάνους προθύμως παρέδωκας, ἑλόμενος παθεῖν διά Χριστόν, ἤ πρόσκαιρον ἔχειν ἀπόλαυσιν Ἀγαπητέ ἀξιύμνητε. Καί μυρίοις τό σῶμα σου κολαστηρίοις παιδευόμενος, ἔχαιρες, ποθῶν Παραδείσου σκηνώματα, διεφυλάχθης δέ πάντως ἀβλαβής, προκρίνοντος τοῦ Θεοῦ τηρεῖν σε εἰς πολλῶν σωτηρίαν καί λύτρωσιν.

Ἦχος γ'

Θαυμαστῶς σέ δοξάζει, ὁ θαυμαστός ἐν Ἁγίοις μακάριε, ὅθεν θαύμασι πλείστοις κατελάμπρυνε τόν βίον σου, Ἀγαπητέ πατήρ ἡμῶν. Ἐκκαθάρας γάρ πόνοις ἀσκητικοῖς τό ὀπτικόν τῆς ψυχῆς, προεώρας τά ἐσόμενα, καί τῶν κρυφίων γνώστης ἀναδέδειξαι. Παταμοῦ δέ ἐστράφη τό ρεῖθρον, τῇ πρός Θεόν ἐντεύξει σου, ἀβλαβεῖς διαφυλλάτων παρακειμένους ἀγρούς. Ὅθεν ἐπαξίως σέ γεραίρομεν θαυματοβρύτα ὅσιε οἱ τιμῶντες τήν μνήμην σου σήμερον.

Ἦχος δ

Ἱερωσύνης ποδήρη, ἱεροπρεπῶς ἐνδυσάμενος, καθαράς τῷ Δεσπότῃ θυσίας ἀναφέρειν κατηξίωσαι. Καί καθορᾶν μυστικῶς, τῆς ἄνω ἱεραρχίας τόν θρόνον κεκαθαρμένοις ὀφθαλμοῖς, σοί δέδοται παρά Θεοῦ, Ἀγαπητέ τῆς ἀγάπης ἐνδιαίτημα. Διό τῷ ἐπουρανίῳ θυσιαστηρίῳ παριστάμενος αἴτησαι τοῖς δούλοις σου, συμφορῶν ἀπαλλαγήν, εἰρήνην, σωτηρίαν καί μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. α'

Ἀγάπης ἐπαξίως ἐπώνυμε, ἐλπίδος ταῖς πτέρυξι καί τῆς πίστεως, πρός Θεόν τάς ἀναβάσεις ἐποίησας ὅσιε. Καί στεφάνῳ τῶν ἀρετῶν κεκοσμημένος καί πορφυρίδι αἱμάτων σου περιβεβλημένος, παρρησίᾳ τῷ θρόνῳ τῆς χάριτος ἐνέκυψας Ἀγαπητέ. Ὅθεν ἀμοιβάς τῶν ἀγώνων ἀξίως ἐκομίσω καί στρατιαῖς τῶν ὁσίων συγχορεύεις, τοῖς ὑμνοῦσι σε αἰτούμενος ἀτελεύτητον ζωήν καί θεῖον ἔλεος.

www.tezaurliturgic.ro

Καί νῦν «Μακαρίζομέν σε».

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ. ΣΤΙΧΗΡΑ ΠΡΟΣΟΜΟΙΑ.

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Τῶν ἀσωμάτων ἀγγέλων τόν ὁμοδίαιτον, ἱεραρχῶν κανόναν, τῶν ὁσίων τήν στάθμην, μαρτύρων γεγονότα σεπτόν κοινωνόν, προαιρέσει θεόφρονι, Ἀγαπητόν τῶν Ἁγίων συγχορευτήν, εὐφημήσωμεν φιλέορτοι.

Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην...

Ὁμολογίας στεφάνῳ κατακοσμούμενος, χιτώνα εὐφροσύνης, περιέθου ἀξίως, καί θείαν ἀγαλλίασιν τῇ ψυχῇ μυστικῶς ἐθησαύρισας, Ἀγαπητέ ἱεράρχα, ὅθεν πιστῶς συνελθόντες σέ γεραίρομεν.

Στίχ. Διά τοῦτο ἔχρισέ σε ὁ Θεός ὁ Θεός σου...

Ἀγαπητόν τόν Κυρίου πιστόν θεράποντα, τόν τῆς Χριστοῦ ἀγάπης τετρωμένον τῷ πόθῳ, ἀξίως εὐφημοῦντες ἀγάπῃ διπλῇ πρός ἀλλήλους καί Κύριον, λελαμπρυσμένοι τελέσωμεν τήν αὐτοῦ μνήμην ἁγίαν ὦ φιλέορτοι.

Δόξα. Ἦχος πλ. δ'.

Κλίμακα θείων ἀρετῶν ὁσίως ἀναβέβηκας πάτερ, μηδόλως στραφείς εἰς τά ὀπίσω ἕως τῆς ἀγάπης τό ἄκρον ἐφετόν ἀληθῶς κατείληφας, ἀνέκλειπτον θησαυρόν ἐν τῇ ψυχῇ σου ταπεινοφροσύνης τοῖς ὅροις φρουρούμενον, καί ἀσκητικοῖς ἀγῶσι εἰς ἑκατόν αὐξανόμενον. Ὄντως μακάριος σύ ἐγένου τῷ Θεῷ ἀεί προσομιλῶν καί διά τῆς ἀγάπης μυστικῶς Αὐτῷ ἑνούμενος, Ἀγαπητέ παμμακάριστε. Καί νῦν καθαρώτερον αὐτόν ἐποπτεύων διά τῆς ἀληθοῦς θεωρίας, μή παύσῃ δεόμενος ὑπέρ ἡμῶν τῶν ἐκ πόθου τιμώντων τήν ἀεισέβαστον μνήμην σου.

Καί νῦν. Δέσποινα πρόσδεξαι.

## ΑΠΟΛΥΤΙΚΙΟΝ

Ἦχος δ'. Ταχύ προκατάλαβε.

Ἀγάπης τήν ἔλλαμψιν, ἐν τῇ ψυχῇ ἐσχηκώς, φωστήρ ἀναδέδειξαι τήν οἰκουμένην πληρῶν, Ἀγαπητέ παναοίδιμε. Πρότερον μέν ἀσκήσει καθαρθείς τήν καρδίαν θρόνον ἱερωσύνης κατεκόσμησας ὄντως καί στέφος ὁμολογίας ἀξίως προσείληφας.

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α΄στιχολογίαν. Κάθισμα.

Ἦχος α΄. Τόν τάφον σου Σωτήρ.

Ἀγάπης τῷ δεσμῷ συνδεόμενος μάκαρ, τῷ ὄντως ἐφετῷ, τῆς αὐτοῦ φωταυγείας, ἐνθέως πεπλήρωσαι Ἀγαπητέ παμμακάριστε, ὅθεν πρέσβευε τῆς γλυκυτάτης ἀγάπης μετασχεῖν ἡμᾶς, τούς ἐκτελοῦντας τήν μνήμην τῆς σῆς τελειώσεως.

Θεοτοκίον

Οὐράνιος ναός ἀνεδείχθης Παρθένε, χωρήσασα Χριστόν ἐν νηδύι σου μόνη, σκηνή τήν τῆς χάριτος κιβωτόν περιέχουσα, θρόνος ἔμψυχος τοῦ βασιλέως τῆς δόξης καί πυρίμορφον ἅρμα τοῦ Λόγου ἀγγέλων χερσί βασταζόμενον.

Μετά τήν β΄στιχολογίαν. Κάθισμα.

Ἦχος γ΄. Θείας πίστεως.

Θρόνον ὅσιε ἱερωσύνης, κατεκόσμησας σῇ παρουσίᾳ, θεαρέστως ὁδηγῶν τό σόν ποίμνιον, πρός ἀληθείας νομάς ἱερώτατε, Ἀγαπητέ ἱεραρχῶν ἀκροθίνιον, πάτερ πρέσβευε Χριστόν τόν Θεόν δεόμεθα, δωρήσασθαι ἡμῖν ἀγάπην ἄπτωτον.

Θεοτοκίον

Ἱλαστήριον κόσμου ἐγένου, παντευλόγητε παρθενομήτωρ, τόν Θεόν ἀεί ἱλασκομένη τοῖς πταίσασι καί ἀπειθοῦσι αὐτοῦ τῷ προστάγματι, ὧν πρῶτος πέλω ὁ ἄθλιος Δέσποινα, ὅν μοι ποίησον πανάχραντε εὐδιάλλακτον, τά πλήθη παρορῶσα τῶν πταισμάτων μου.

Μετά τόν πολυέλαιον. Κάθισμα.

Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Νοεροῖς στρατεύμασι νῦν συγχορεύων, τῆς τρυφῆς ἠξίωσαι τοῦ Παραδείσου μετασχεῖν, ἧς ἀπολαύων μνημόνευε τῶν τήν σήν μνήμην ἐπιτελούντων μακάριε.

Θεοτοκίον

Παρθενίας ἄνθος σε καί κρῖνον Κόρη, μητρικῆς σεμνότητος, ἐπιγινώσκομεν ἐν σοί, τά διεστῶτα γάρ ἥνωσεν ὁ προειδώς σου ψυχῆς τήν εὐπρέπειαν.

Οἱ Ἀναβαθμοί. Τό α΄ἀντίφωνον τοῦ δ΄ἤχου. Τό προκείμενον. Ἦχος δ΄.

www.tezaurliturgic.ro

Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Πᾶσα πνοή. Εὐαγγέλιον εἰς ἱεράρχην. Ὁ Ν΄.

Δόξα. Ταῖς τοῦ Ιεράρχου.

Καί νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα τό ἰδιόμελον. Ἦχος πλ. β΄.

Τῆς σοφίας ἐνδιαίτημα, πάτερ ἐδείχθης ἀληθῶς, ἀσκήσεως ὑποτύπωσις, ἐγκρατείας στάθμη, ἀγάπης θησαυρός ἀνεξάντλητος, δι᾽ἧς ἡρμόσθης τῷ Χριστῷ, καί ψυχήν ἐκκαθάρας, δοχεῖον ἐφάνης ἀληθῶς τοῦ Ἁγίου Πνεύματος. Οὗ ταῖς ἀκτίστοις φωταυγείαις ἀεί καταυγαζόμενος, τήν οἰκουμένην πᾶσαν πυρσεύεις ταῖς πρός Θεόν πρεσβείαις σου.

Σῶσον ὁ Θεός τόν λαόν σου.

Ὁ Κανών τοῦ Ἁγίου οὗ ἡ ἀκροστιχίς.

«Ἀγάπης τόν ὁμώνυμον ἐν ὕμνοις γεραίρω.»

Ὠδή α΄. Ἦχος δ΄. «Ἀνοίξω τό στόμα μου.»

Ἀνάτειλον Κύριε γνώσεως φῶς τῇ καρδίᾳ μου, τόν σόν ὅπως ὕμνοις νῦν ᾄσω θεράποντα, καί ἀξίωσον εὐχαῖς αὐτοῦ τιμῆσαι, τόν βίον τόν ἔνθεον καί τά παλαίσματα.

Γηίνων φροντίδων σύ τόν νοῦν ἀπέστησας ὅσιε, ἐκ βρέφους τόν Κύριον ἐπιποθήσας θερμῶς, καί ἀσκήσεως τήν τρίβον τήν τραχεῖαν εὔχαρις ἐβάδισας Ἀγαπητέ νουνεχῶς.

Ἀγάπης τοῖς ἤθεσι καλλωπιζώμενος ὅσιε ὡς λύχνος ἐξέλαμψας ἐν μέσῳ τῶν ἀδελφῶν, ταπεινούμενος καί πᾶσιν ὡς ἀγγέλοις, ἠτένιζες πάντοτε διακονῶν αὐτοῖς.

Θεοτοκίον.

Πεσοῦσαν ἠνώρθωσας ἡμῶν τήν φύσιν φιλάνθρωπε, ἐν μήτρᾳ σαρκούμενος σεμνῆς θεόπαιδος, ἥν ἀνέδειξας κυρίως Θεοτόκον, πρεσβεύουσαν πάντοτε σῶσαι τούς δούλους σου.

Ὠδή γ΄. «Τούς σούς ὑμνολόγους.»

Ἠγώνισαι μάκαρ ὑπέρ φύσιν, ἐν μόνοις φλοιοῖς καιρόν μακρόν, τρεφόμενος ἐγκράτειαν, ἀρίστην μετερχόμενος, πάθη σαρκός νεκρώσας τε, Ἀγαπητέ καί σκιρτήματα.

www.tezaurliturgic.ro

Σαυτόν ἐπεδίδου πρός νηστείας, δεήσεις καί ἄγρυπνον ψυχῆς τό ὄμμα ἔχων ὅσιε, ἐν ἀγρυπνίαις ἄπτωτος, διέμεινας ἀγγέλων σύ, τήν πολιτείαν μιμούμενος.

Τοῦ Πνεύματος πάτερ τοῦ Ἁγίου, καρπούς ἐν ψυχῇ ἐπιμελῶς, ἐκτήσω βίον ἄυλον, ἐν σώματι δεικνύμενος, ὅθεν Πατρός τήν δόξαν νῦν, καί τοῦ Υἱοῦ καθορᾷς σεπτῶς.

Θεοτοκίον

Ὀσμήν εὐωδίας Θεοτόκε, τήν κτίσιν ἐπλήρωσας τῷ σῷ πανάγνῳ τόκῳ Πάναγνε, τό σκότος ἀφανίζουσα, τό τῶν εἰδώλων Δέσποινα, τό ζοφερῶς πρίν καλύπτον γῆν.

Κάθισμα. Ἦχος πλ. δ'. Τήν σοφίαν καί Λόγον.

Τῆς ἀγάπης ἀκένωτος ποταμός. ἐκ θεοῦ ἐκπηγάζων τήν σήν ψυχήν, πλουσίως κατήρδευσε καί ναμάτων ἐπλήρωσε, ἀύλων οὐρανίων ἀγάπης τελέσας σε, χειμάρρουν ἀκενώτων ρευμάτων πανόσιε˙ οἷς καταδροσίζεις, ἐκτακείσας καρδίας, πταισμάτων τῷ καύσωνι, καί πιαίνεις τά πνεύματα, ἀρετῶν πρός γεώργησιν, καί καρποφορίαν δεκτήν, τῷ ΚΥρίῳ , Πάτερ ἁγιώτατε, τῶν θερμῶς ἐκτελούντων τήν ἁγίαν μνήμην σου.

Θεοτοκίον

Τῶν χαρίτων τοῦ Πνεύματος τό σεπτόν, ἐκμαγεῖον καί πάντων τῶν ἀρετῶν, τό θεῖον θησαύρισμα, τοῦ Πατρός τό ἀπαύγασμα, τήν ἐν κοιλίᾳ φέρουσαν τόν Λόγον τόν ἄναρχον, τήν Παναγίαν Κόρην, Μαρίαν δοξάσωμεν˙ τήν ἐκλελεγμένην ἀπό πάντων αἰώνων, τήν στάμνον τήν φέρουσαν μάννα τό ἐπουράνιον, τήν σκηνήν τήν ἀμόλυντον, τράπεζαν τήν θείαν τήν φρικτῶν, μυστηρίων οὖσαν ἐργαστήριον, τήν κιβωτόν τήν ἁγίαν ἀξίως ὑμνήσωμεν.

Ὠδή δ'. «Ὁ καθήμενος ἐν δόξῃ.»

Νέος ὢν τήν ἡλικίαν, ἐν στρατείᾳ διέπρεψας, τοῦ ἐπουρανίου, μόνου βασιλέως δεικνύμενος, ὁπλίτης ἄριστος πάτερ καί συνόμιλος, νοερῶν στρατιῶν Ἀγαπητέ θεοδόξαστε.

Ὁ δοξάσας τούς ἁγίους σέ ἐδόξασε Κυριος, χάριν τῶν θαυμάτων σύ ἐμπιστευθείς καί ἰάσεων, παντοδαπῶν αὐτουργόν ἀποτελέσας σε, δι'ὧν πάντας σοι τούς προσιόντας ἀνέπαυσας.

www.tezaurliturgic.ro

Μάχαιράν ὡς ὀξυτάτην, προσευχήν ἐν ψυχῇ πλουτῶν, πάσας τῶν δαιμόνων, σύ ἐπιβουλάς κατενίκησας, καί τῆς αὐτῶν ἐξουσίας ἠλευθέρωσας, τούς δεινῶς τό πρίν πολεμουμένους πανόλβιε.

Θεοτοκίον

Ὡραιότης τῶν ἀγγέλων, ἀρχαγγέλων ἐντρύφημα, Χερουβείμ τερπνότης, Θρόνων Σεραφείμ ὑμνολόγημα, ἐξουσιῶν καί δυνάμεων ἐντρύφημα, Κόρη γέγονας, Κυριοτήτων τε μέλισμα.

Ὠδή ε'. «Ἐξέστη τά σύμπαντα»

Νοήσας τούς μάρτυρας, πρός θεϊκήν λαμπρότηταν, μάκαρ ἀγομένους τήν καρδίαν, τοῦ μαρτυρίου πόθῳ ἐτέτρωσο, καί ἔσπευδες τούτων κοινωνός, πάντων τῶν κολάσεων σεαυτόν ἐπιδείξασθαι.

Ὑπάρχοντα πάνσοφε, πολλῶν ψυχῶν ἀνάπαυσις, Κύριος ἐφύλαξέ σε Πάτερ, ἀπό θανάτου, βασανισθείς γάρ σφοδρῶς, καί ἐν ἀκοντίοις κεντηθείς, σῶμα σου τό ἅγιον, διετήρησεν ἄτρωτον.

Μαρτύρων ὁμόζηλος, τῇ προαιρέσει γέγονας, ὅθεν καί στεφάνοις μαρτυρίου, κεκοσμημένος, Ἀγαπητέ τοῖς χοροῖς, νῦν τοῖς τῶν μαρτύρων ἐντρυφῶν, χαίροις ἀγαλλώμενος καί χορεύεις γηθόμενος.

Θεοτοκίον

Ὅν ἔτεκες Δέσποινα ἀκαταπαύστως αἴτησαι, ῥῦσαι τῆς παθῶν κυριαρχίας, τούς κρατουμένους ἁμαρτιῶν τούς δεσμούς, λύων ὡς Θεός καί ἀρετῶν, χάριτας δωρήσασθαι τοῖς ὑμνοῦσι σε Ἄχραντε.

Ὠδή στ'. «Τήν θείαν ταύτην»

Νικήσας Πάτερ τόν τύραννον, παθῶν ἐλευθερίας ἠξίωσαι, ὅθεν ἐπίσκοπον, πολλῶν ψυχῶν σέ κατέστησεν, τῆς Συναοῦ ὁ μόνος φύσει φιλάνθρωπος.

Ἐλαίῳ Πάτερ τῶν λόγων σου, ψυχάς καθιλαρύνεις τῆς ποίμνης σου, καί τῶν θαυμάτων σου ταῖς ἐνεργείαις ἰάματα, παντοίων νόσων δίδως ἀξιοθαύμαστε.

Νοός σοφέ καθαρότητι, τά μέλλοντα σαφῶς προητένιζες, οἷα προφήτης σύ, Ἀγαπητέ νέας χάριτος, τῶν παλαιῶν τόν βίον ἐκμιμησάμενος.

Θεοτοκίον

Υἱόν Θεοῦ ἐν ἀγκάλαις σου, ἐβάστασας Υἱόν σου γενόμενον, Κόρη ἀνύμφευτε, υἱοθεσίαν οὖν αἴτησαι, τήν οὐράνιον πάντας ἡμᾶς κληρώσασθαι.

Κοντάκιον ἦχος πλ. δ.

www.tezaurliturgic.ro

Τόν ἀπό βρέφους τῷ Κυρίῳ ἀναθέμενον, καί θεαρέστως ἐν ἀσκήσει πορευόμενον, ἐπαξίως ἀνυμνοῦμεν σε θεοφόρε. Ἱεράρχης γάρ ἐδείχθης ἀξιάγαστε, καί ποιμήν ἀληθινός ἐχρημάτισας. Διό κράζομεν· χαίροις Ἀγαπητέ παμμακάριστε.

Ὁ Οἶκος.

Τόν τῆς ἀγάπης πάντες συνώνυμον, καί ταύτης γεγονότα ὑπέρλαμπρον φωστῆρα, τῶν ἀσκητῶν τήν δόξαν, καί τῶν ὁσίων μέγα κλέος, μαρτύρων τόν σύναθλον καί ὁμότιμον, ἱεραρχῶν σεπτόν ἐκτύπωμα, καί τῶν ἀγγέλων συγχορευτήν, εὐφημοῦμεν Ἀγαπητόν τόν ἀοίδιμον, ὅς πρόκειται ἡμῖν εἰς εὐφημίαν, τούτῳ κράζοντες·

Χαίροις Ἀγαπητέ παμμακάριστε.

Συναξάριον.

Τῇ ΙΗ΄. τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ἐν Ἁγίοις Πατρός ἡμῶν Ἀγαπητοῦ, Ἐπισκόπου Σινάου τοῦ Ὁμολογητοῦ καί Θαυματουργοῦ.

Στίχοι

Ὅν ἠγάπησας Ἀγαπητέ Δεσπότην,
Οὗτος καλεῖ σε πρός τόπους, οὕς ἠγάπας.

Ὠδή ζ΄. «Οὐκ ἐλάτρευσαν».

Μακαρίας σύ φωνῆς ἐπακροώμενος, δεῦτε λεγούσης πρός μέ, οἱ κοπιῶντες Χριστός, ἥν τῷ κόσμῳ ἔφησε, πάντα κατέλιπες, καί προσέδραμες, εὐλογητός βοῶν αὐτῷ ὁ Θεός εἰς τούς αἰῶνας.

Νάμα ἔστρεψας τοῦ ποταμοῦ φερόμενον, καί ἀφανίζον ἀγρόν τοῦ ἐπισκόπου τῇ σῇ, παμμάκαρ πρός Κύριον ἐντεύξει κράζων αὐτῷ· ὑπερύμνητε, ὁ τῶν πατέρων Κύριος καί Θεός εὐλογητός εἶ.

Οὐκ ἐνέδωκας τοῖς ὀφθαλμοῖς σου ὅσιε, ὕπνον καί ἄνεσιν, τῷ σώματί σου ἕως, εὗρες τόπον ἅγιε τῷ σῷ Θεῷ ἐκβοῶν· ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος καί Θεός εὐλογητός εἶ.

Θεοτοκίον

Ἱταμότητα δαιμόνων ἐξηφάνισας, τῷ θείῳ τόκῳ σου, περιστερά λογική, καί τούτων σεβάσματα πάντα συνέτριψεν, ὁ ἐκ μήτρας σου, ἐπιφανείς θεάνθρωπος καί Θεός εὐλογημένος.

Μάχαιραν ὡς ὀξυτάτην, προσευχὴν ἐν ψυχῇ πλουτῶν, πάσας τῶν δαιμόνων, σύ ἐπιβουλάς κατενίκησας, καί τῆς αὐτῶν ἐξουσίας ἠλευθέρωσας, τούς δεινῶς τό πρίν πολεμουμένους πανόλβιε.

www.tezaurliturgic.ro

Θεοτοκίον

Ὡραιότης τῶν ἀγγέλων, ἀρχαγγέλων ἐντρύφημα, Χερουβείμ τερπνότης, Θρόνων Σεραφείμ ὑμνολόγημα, ἐξουσιῶν καί δυνάμεων ἐντρύφημα, Κόρη γέγονας, Κυριοτήτων τε μέλισμα.

Ὠδή ε΄. «Ἐξέστη τά σύμπαντα»

Νοήσας τούς μάρτυρας, πρός θεϊκήν λαμπρότηταν, μάκαρ ἀγομένους τήν καρδίαν, τοῦ μαρτυρίου πόθῳ ἐτέτρωσο, καί ἔσπευδες τούτων κοινωνός, πάντων τῶν κολάσεων σεαυτόν ἐπιδείξασθαι.

Ὑπάρχοντα πάνσοφε, πολλῶν ψυχῶν ἀνάπαυσις, Κύριος ἐφύλαξέ σε Πάτερ, ἀπό θανάτου, βασανισθείς γάρ σφοδρῶς, καί ἐν ἀκοντίοις κεντηθείς, σῶμα σου τό ἅγιον, διετήρησεν ἄτρωτον.

Μαρτύρων ὁμόζηλος, τῇ προαιρέσει γέγονας, ὅθεν καί στεφάνοις μαρτυρίου, κεκοσμημένος, Ἀγαπητέ τοῖς χοροῖς, νῦν τοῖς τῶν μαρτύρων ἐντρυφῶν, χαίροις ἀγαλλώμενος καί χορεύεις γηθόμενος.

Θεοτοκίον

Ὅν ἔτεκες Δέσποινα ἀκαταπαύστως αἴτησαι, ῥῦσαι τῆς παθῶν κυριαρχίας, τούς κρατουμένους ἁμαρτιῶν τούς δεσμούς, λύων ὡς Θεός καί ἀρετῶν, χάριτας δωρήσασθαι τοῖς ὑμνοῦσι σε Ἄχραντε.

Ὠδή στ΄. «Τήν θείαν ταύτην»

Νικήσας Πάτερ τόν τύραννον, παθῶν ἐλευθερίας ἠξίωσαι, ὅθεν ἐπίσκοπον, πολλῶν ψυχῶν σέ κατέστησεν, τῆς Συναοῦ ὁ μόνος φύσει φιλάνθρωπος.

Ἐλαίῳ Πάτερ τῶν λόγων σου, ψυχάς καθιλαρύνεις τῆς ποίμνης σου, καί τῶν θαυμάτων σου ταῖς ἐνεργείαις ἰάματα, παντοίων νόσων δίδως ἀξιοθαύμαστε.

Νοός σοφέ καθαρότητι, τά μέλλοντα σαφῶς προητένιζες, οἷα προφήτης σύ, Ἀγαπητέ νέας χάριτος, τῶν παλαιῶν τόν βίον ἐκμιμησάμενος.

Θεοτοκίον

Υἱόν Θεοῦ ἐν ἀγκάλαις σου, ἐβάστασας Υἱόν σου γενόμενον, Κόρη ἀνύμφευτε, υἱοθεσίαν οὖν αἴτησαι, τήν οὐράνιον πάντας ἡμᾶς κληρώσασθαι.

'Ωδή η'. «Παῖδας εὐαγεῖς».

www.tezaurliturgic.ro

Στέφανος χειρί τοῦ ἀθλοθέτου, τῇ σῇ κορυφῇ 'Αγαπητέ σοφέ, ἐναποτιθέμενος, δόξης ὤφθη γνώρισμα, νίκης τε τεκμήριον, κατά παθῶν καί σαρκός, τόν Κύριον ὑμνεῖν σε προτρέπον καί ὑπερυψοῦν ὡς θεόν εἰς τούς αἰῶνας.

Γνήσιος τοῦ λόγου ὀρθοτόμος, καί βάσις τῆς ὀρθοδόξου πάτερ πίστεως, ἔνθεος ὑπέρμαχος, τῶν δογμάτων γέγονας, ἀναβοῶν μακάριε τῷ Λόγῳ πάντοτε· τόν Κύριον ὑμνεῖτε τά ἔργα καί ὑπερυψοῦτε εἰς πάντας τούς αἰῶνας.

Ἔμπλεως τῆς ἄνωθεν σοφίας, καί πλήρης πνευματικῆς πάτερ συνέσεως, πλήρης θείου Πνεύματος, ἀρετῆς τῆς κρείττονος, τῆς σῆς ἀγάπης ἔλαμψεν ὁ βίος Ἅγιε, ὅν ἤνυσας, αἰνεῖτε κραυγάζων καί ὑπερυψοῦτε Χριστόν εἰς τούς αἰῶνας.

Θεοτοκίον

Ῥᾶνον μοι παρθένε τοῦ ἐλέους, τοῦ σοῦ νῦν ρανίδα διαλύουσαν, πάντων τῶν κακῶν ἑσμόν καί τήν τῶν πταισμάτων μου, γραφήν τήν ἐξαλείφουσαν, ψυχήν δροσίζουσαν, διάνοιαν στηρίζουσαν πόθῳ τοῦ ἐκ σοῦ τεχθέντος, σεμνή ἀπειρογάμως.

'Ωδή θ'.«Ἅπας γηγενής».

Ἄρας τόν σταυρόν, ἐπ'ὤμων σου ὅσιε ἐπηκολούθησας, τῷ ἐπί σταυροῦ Χριστῷ, τάς χεῖρας πάλαι πάτερ ἐκτείναντι, τά τούτου δικαιώματα ἐν τῇ καρδίᾳ ἐνθείς καί τόν νόμον, μελέτην ποιούμενος, ἀγαπήσας αὐτοῦ τά διδάγματα.

Ἴσχυσας Χριστῷ τῷ ἐνδυναμοῦντι σε, 'Αγαπητέ ἱερέ, πᾶσαν τοῦ ἀλάστορος. τήν δυναστείαν συντρίβειν ράβδῳ τῆς σῆς, ἱεραρχίας, ἤγειρας ναούς δέ ἅγιε, τοῦ λατρεύειν τόν θεόν ἑκάστοτε, τούς αὐτόν προσκυνοῦντας ἐν πνεύματι.

Ρῶσιν τῶν ψυχῶν, σωμάτων τε ἴασιν δίδου ἑκάστοτε, τοῖς πανηγυρίζουσι, τήν θείαν μνήμην 'Αγαπητέ ἱερέ, καί πόθῳ ἀνυμνοῦσι σε ἔνσαρκε ἄγγελε, καί βοῶσι χαίροις ἁγιώτατε, πρεσβευτά καί ἱκέτα πρός Κύριον.

Θεοτοκίον

Ὡς Θεοῦ μητρί προσπίπτομεν Δέσποινα πρός σέ τήν εὐσπλαγχνον, πρέσβυν σέ πλουτήσαντες, καί μεσιτείαν πρός τόν φιλάνθρωπον, δεόμενοι ἀφέσεως τυχεῖν καί οἴκησιν, παραδείσου, ἀπολαύειν πάντας σε, τούς δοξάζοντας κόρη θεόνυμφε.

'Εξαποστειλάριον «Φῶς ἀναλλοίωτον Λόγε».

Τῶν μοναζόντων τό κλέος, ἱεραρχῶν τήν καλλονήν, ταμεῖον τό τῶν θαυμάτων, ἀγάπης θείας πλουτιστήν, Ἀγαπητόν εὐφημοῦμεν, θεράποντα τοῦ Κυρίου.

www.tezaurliturgic.ro

Θεοτοκίον

Τῶν Χερουβείμ, θεῖον ἆσμα, τῶν Σεραφείμ ἡ χαρμονή, ἁγιωτέρα ἀγγέλων, δυνάμεων ἐξουσιῶν, κυριοτήτων ἐδείχθης, καί ἀρχαγγέλων παρθένε.

Εἰς τούς αἴνους, στιχηρά προσόμοια.

Ἦχος πλ.δ'. «Ὢ τοῦ παραδόξου θαύματος».

Τό τῆς ἀγάπης ἀμάραντον, θεῖον φυτόν ἱερόν, ἐγκρατείας τοῖς ὕδασι, ἀρδευόμενον καλῶς καί ἀεί αὐξανόμενον, εὔοσμα ἄνθη φέρον ἀσκήσεως, πολυποικίλους καρπούς ἀθλήσεως, τό εὐσκιόφυλλον, τό δροσίζον χάριτι τούς εὐσεβεῖς, πάντες εὐφημήσωμεν, Ἀγαπητόν θαυμαστόν. (δίς)

Πάθη νεκρώσας τοῦ σώματος, τῆς ἀφθαρσίας στολήν, ἐνεδύσω μακάριε, ἐπί γῆς μιμούμενος, ἀσωμάτων εὐπρέπειαν, καί τῷ τῶν ὅλων Θεῷ παρίστασαι, θερμός ἱκέτης ὑπέρ τῶν δούλων σου, τῶν τήν ἐτήσιον, μνήμην σου τιμώντων νῦν ἱεραρχῶν, σέμνωμα καί καύχημα, Ἀγαπητέ ἱερέ.

Θείων μαρτύρων ἐφάμιλλος τῇ προαιρέσει ὀφθείς, ὡς τά τούτων παλαίσματα ζηλῶν παμμακάριστε, καί ἐκδώσας τό σῶμα σου, πρός τιμωρίας καί ἀκοντίσματα, ἔνθεν δοξάσας Χριστόν σοῖς μέλεσι, ὦ καρτερόψυχε, σύν αὐτῷ ἀγάλλῃ νῦν ἐν οὐρανοῖς, πάντοτε δεόμενος ὑπέρ τῆς ποίμνης σου.

Δόξα. Ἦχος πλ. δ.

Ἀσκήσας ὑπερφυῶς, κατά παθῶν πολυτρόπων, τρόπαιον ἔστησας παναοίδιμε, καί ἐναθλήσας νομίμως, τῆς ὁμολογίας τῷ στέφει ἀξίως ἐστέφθης παρά Θεοῦ, Ἀγαπητέ μακάριε. Ὅθεν τό χάρισμα δεχθείς τῆς ἀρχιερωσύνης, τῷ Θεῷ ὡς ἄγγελος ἐπί γῆς ἐλειτούργησας, ἀναιμάκτους θυσίας ὑπέρ τῆς ποίμνης σου ἀεί ἐνεγκών. Καί νῦν δυσωπει ἀπαύστως, λυτρωθῆναι ἡμᾶς ἐκ πάσης ἀπειλῆς καί σωθῆναι τάς ψυχάς ἡμῶν.

Καί νῦν. Δέσποινα πρόσδεξαι.

Εἰς τήν λειτουργίαν.

Τυπικά καί οἱ μακαρισμοί, ἐκ τοῦ κανόνος τοῦ ἁγίου ἡ γ' καί στ' ᾠδή.

Ἀπόστολος καί Εὐαγγέλιον ἱεραρχῶν.

Κοινωνικόν «Εἰς μνημόσυνον αἰώνιον».

Μεγαλυνάριον

Χαίροις τῆς ἀγάπης ὁ ποταμός, ὁ τήν οἰκουμένην καταρδεύων θείαις ῥοαῖς, χαίροις τῶν ὁσίων καί ἀθλητῶν ἡ δόξα, Ἀγαπητέ θεόφρον, ἀγγέλων σύσκηνε.